,, τ', οὐδένα καιρὸν δύναται θνατοῖς.
,, Μείζους δ' ἄτας, ὅταν ὀργισθῇ
,, Δαίμων, οἴκοις ἀπέδωκεν.
χο ἔκλυον φωνάν, ἔκλυον δὲ βοὰν
τᾶς δυστάνου κολχίδος.
οὐδέπω ἤπιος. ἀλλ' ὦ γεραιά,
λέξον. ἐπ' ἀμφιπύλου γὰρ ἔσω
μελάθρου βοὰν ἔκλυον.
οὐδὲ συνήδομαι γύναι
ἄλγεσι δώματος,
ἐπεὶ μὴ φίλα κέκρανται.
τρο οὐκ εἰσὶ δόμοι. φροῦδα τάδ' ἤδη.
ὁ μὲν γὰρ ἔχει δῶμα τυράννων.
ἡ δ' ἐν θαλάμοις τήκει βιοτὰν
δέσποινα, φίλων οὐδενὸς οὐδὲν
παραθαλπομένα φρένα μύθοις.
μή αἰαῖ. διά μου κεφαλᾶς φλὸξ οὐρανία
βαίη. τί δέ μοι ζῆν ἔτι κέρδος;
φεῦ, φεῦ. θανάτῳ καταλυσαίμαν,
βιοτὰν στυγερὰν προλιποῦσα.
χο ἄιες ὦ Ζεῦ, καὶ γᾶ, καὶ φῶς,
ἰαχάν, οἵαν ἁ δύστανος μέλπει νύμφα;
τίς σοί ποτε τᾶς ἀπλήστου
κοίτας ἔρος, ὦ ματαία,
σπεύσει θανάτου τελευτάν;
μηδὲν τόδε λίσσου.
εἰ δὲ σὸς πόσις